μέναι· ἀνδριάντες τε ὁμοίως ὁπόσοι εἰς τὴν αὐτοῦ τιμὴν διανεστήκεσαν, ὡσαύτως
ἐρριπτοῦντο καὶ συνετρίβοντο· γέλως καὶ παιδιὰ τοῖς ἐνυβρίζειν καὶ ἐμπαροινεῖν ἐ-
θέλουσιν ἐκκείμενοι· εἶτα δὲ καὶ τῶν ἄλλων τῆς θεοσεβείας ἐχθρῶν, πᾶσαι αἱ
τιμαὶ περιῃροῦντο· ἐκτείνοντο δὲ καὶ πάντες οἱ τὰ Μαξιμίνου φρονοῦντες·
ὅσοι μάλιστα τῶν ἐν ἀρχικοῖς ἀξιώμασιν ὑπ' αὐτοῦ τετιμημένοι· τῇ πρὸς αὐτὸν
κολακείᾳ σοβαρῶς ἐνεπαρῴνησαν τῷ καθ' ἡμᾶς λόγῳ· οἷος ἦν ὁ πάντων
παρ' αὐτῷ τιμιώτατος καὶ αἰδεσιμώτατος, ἑταίρων τε γνησιώτατος, Πευκέ-
τιος· δισύπατος καὶ τρισύπατος καὶ τῶν καθόλου λόγων ἔπαρχος πρὸς αὐτοῦ
καθεσταμένος· Κουλκιανός τε ὡσαύτως διὰ πάσης ἀρχικῆς προελθὼν ἐ-
ξουσίας· ὁ καὶ αὐτὸς μυρίοις τοῖς κατ' Αἴγυπτον Χριστιανῶν ἐλαμπρυνόμενος
αἵμασιν· ἄλλοι τε ἐπὶ τούτοις οὐκ ὀλίγοι, δι' ὧν μάλιστα τὰ τῆς Μαξιμίνου τυ-
ραννίδος ἐκεκράτυντο καὶ ηὔξητο· ἐκάλει δ' ἄρα καὶ Θεότεκνον ἡ δίκη·
οὐδαμῶς τὰ κατὰ Χριστιανῶν αὐτῷ πεπραγμένα λήθῃ παραδιδοῦσα·
ἐπὶ μὲν γὰρ τῷ κατ' Ἀντιόχειαν ἱδρυθέντι πρὸς αὐτοῦ ξοάνῳ δόξαν ἀνημμέ-
νος ἤδη καὶ ἡγεμονίας ἠξίωτο παρὰ Μαξιμίνου· Λικίνιος δὲ ἐπιβὰς τῆς Ἀντιοχέων
πόλεως, φωρὰν τε γοήτων ποιησάμενος, τοὺς τοῦ νεοπαγοῦς ξοάνου προφήτας
καὶ ἱερεῖς, βασάνοις ἠκίζετο· τίνι λόγῳ τὴν ἀπάτην καθυπεκρίνοντο πυν-
θανόμενος· ὡς δὲ ἐπικρύπτεσθαι αὐτοῖς πρὸς τῶν βασάνων συνελαυνομένοις ἀδύνατον
ἦν, ἐδήλουν δὲ τὸ πᾶν μυστήριον ἀπάτην τυγχάνειν τέχνῃ τῇ Θεοτέκνου μεμη-
χανημένην· τοῖς πᾶσι τὴν ἀξίαν ἐπιθεὶς δίκην, πρῶτον αὐτὸν Θεότεκνον
εἶτα δὲ καὶ τοὺς τῆς γοητείας κοινωνούς, μετὰ πλείστας ὅσας αἰκίας, θανάτῳ παρα-
δίδωσι· τούτοις ἅπασι προσετίθεντο καὶ οἱ Μαξιμίνου παῖδες· οὓς ἤδη καὶ τῆς
βασιλικῆς τιμῆς, τῆς τε ἐν πίναξι καὶ γραφαῖς ἀναθέσεως πεποίητο κοινω-
νούς· καὶ οἱ συγγενεῖς δὲ τοῦ τυράννου τὸ πρὶν αὐχοῦντες καὶ πάντας ἀνθρώπους
καταδυναστεύειν ἐπηρμένοι, τὰ αὐτὰ τοῖς προδεδηλωμένοις μετὰ τῆς ἐσ-
χάτης ἀτιμίας ἐπεπόνθεσαν· ἐπεὶ μὴ ἐδέξαντο παιδείαν· μηδὲ ἔγνωσαν μηδὲ συνῆκαν
τοῦ φάσκοντος ἐν ἱεροῖς λογίοις παραινέσεως· μὴ πεποίθατε ἐπ' ἄρχοντας ἐπὶ
υἱοὺς ἀνθρώπων οἷς οὐκ ἔστι σωτηρία· ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἀποστρέψει εἰς
τὴν γῆν αὐτοῦ· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν·
οὕτω δῆτα τῶν δυσσεβῶν ἐκκαθαρθέντων, μόνοις ἐφυλάττετο τὰ τῆς
προσηκούσης βασιλείας, βέβαιά τε καὶ ἀνεπίφθονα Κωνσταντίνῳ
καὶ Λικινίῳ· οἳ τὸ πρόσθεν ἅπαν ἐκκαθάραντες τοῦ βίου τὴν θεοεχθρίαν,
τῶν ἐκ θεοῦ πρυτανευθέντων ἀγαθῶν αὐτοῖς ᾐσθημένοι, τὸ φιλάρετον καὶ θεοφιλ-
ές τό τε πρὸς τὸ θεῖον εὐσεβὲς καὶ εὐχάριστον, διὰ τῆς ὑπὲρ Χριστιανῶν ἐνεδείξαντο
νομοθεσίας:+